16. Pro θεραπεύειν Fixius ῥύε-

"ἀνέγραφον δὲ πάντας· ἐν δὲ τοῖς πρώτοις
"καὶ σὲ γράφειν ἔμελλον· ἀλλ' ἐγὼ δείσας
"εὐθὺς προσῆλθον, ἡψάμην τε τῶν σκήπτρων,
"κἀπώμοσ' αὐτοῖς, ὅτι σὺ ταῖς ἀληθείαις 20
"ἰατρὸς οὐκ εἶ καὶ μάτην διεβλήθης."

θαι rescribit, aut totum versum omittit. βραβεύειν Lachmann. Videtur paraphrastes legisse, ὅτι τοὺς νοσοῦντας οὐκ ἐῶσ' ἀποθνήσκειν.

20. Formula ταῖς ἀληθείας utitur poeta f. 83. v. 3. notante Boiss. qui citat Meineke. ad Philem. fr. incert. 40. a. p. 410. Locutio seriori Atticismo pertinere videtur.

21. διεκλήθης A. διεβλήθης et fab. pedestri restituit Boiss.

FAB. LXXVI.

ΙΠΠΕΥΣ ΚΑΙ ΙΠΠΟΣ.

Ἱππεὺς τὸν ἵππον, ἄχρι μὲν συνειστήκει
ὁ πόλεμος, ἐκρίθιζε κἄτρεφεν χόρτῳ,
παραστάτην γενναῖον ἐν μάχαις κρίνων·
ἐπεὶ δ' ἐπαύσατ', ἦν δὲ λοιπὸν εἰρήνη,
καὶ μισθὸν ἱππεὺς οὐκέτ' εἶχεν ἐκ δήμου, 5
τότ' ἐκεῖνος ἵππος πολλάκις μὲν ἐξ ὕλης
κορμοὺς παχεῖς κατῆγεν εἰς πόλιν βαίνων,
μισθῷ τε φόρτον ἔφερεν ἄλλοτ' ἀλλοῖον,
τὸ πνεῦμα σῴζων ἐπ' ἀχύροισι δυστήνοις,
σάγην τε νώτοις ἔφερεν, οὐκέθ' ἵππευσιν. 10

Fabula pedestris, e codice Bodleiano, Babrianæ proxima, ap. Cor. f. 362. p. 236. Conf. Tyrwhitt. p. 13.

6. τόθ' ὁ κλεινὸς Lachmann.

8. δὲ Baiterus. ἀλλοίων Fixius.

9. δύστηνος Meinekius.

10. δὲ Hermannus. ἱππεῦσιν

ὡς δ' αὖ πρὸ τειχῶν πόλεμος ἄλλος ἠκούσθη,
σάλπιγξ τ' ἐκέλευε πᾶσιν ἀσπίδα σμήχειν,
ἵππους τε κοσμεῖν καὶ σίδηρον ὀξύνειν,
κἀκεῖνος αὖ τὸν ἵππον ἐγχαλινώσας
ὁ δεσπότης παρῆγεν, ὡς ἐφιππεύσων. 15
ὁ δ' ὀκλάσας ἔπιπτεν οὐκέτ' ἰσχύων.
"ἔντασσε πεζοῖς σαυτὸν," εἶπεν, "ὁπλίταις·
"σὺ γάρ μ' ἀφ' ἵππων εἰς ὄνους μεταστήσας
"πῶς αὖθις ἵππον ἐξ ὄνου με ποιήσεις;"

A. Corr. Boiss. ephippium intelligens. ἵππευσεν Sauppius, ἱππευτὴν aut ἱππηδὸν Fixius, ἱππείην Lachmann.

12. ἔκλαγξε pro ἐκέλευε Fixius. καὶ ἡ σάλπιγξ ἐφώνει fabula pedestris, quod reposuit Lachmann. conf. f. 2. v. 11.

14. κἀκεῖνος αὐτὸν A. κἀκεῖνος εὖ τὸν Dübnerus, κἀκεῖνον αὖ τὸν Baiterus, κἀκεῖνος αὖ τὸν Fixius et alii.

FAB. LXXVII.

ΚΟΡΑΞ ΚΑΙ ΑΛΩΠΗΞ.

Κόραξ δεδηχὼς στόματι τυρὸν εἱστήκει·
τυροῦ δ' ἀλώπηξ ἰχανῶσα κερδῴη

Quattuor fabulæ pedestres, et tetrastichon Ignatianum, ap. Cor. f. 204. p. 131—2. Schneider f. 123. p. 64. Una ultimum Babrii versum pæne integrum servavit: ἔχεις, κόραξ, ἅπαντα, νοῦς δέ σε λείπει, Cor. p. 131. Fabula ap. Schneid. aliam Babrii recensionem fortasse sequuta est: ὦ κόραξ, ἔχεις τὰ πάντα, νοῦν μόνον κτῆσαι. Conf. Aphthon. f. 29. ap. Cor. f. 131. Dosith. n. 8. Phædr. I. 13.

ἀρχὴ τοῦ κ̄ A.

2. ἰχανῶσα A. ἰχανᾶν pro ἰσχανᾶν serior forma esse videtur. Vide Hesych. in ἰσχανάα cum

μύθῳ τὸν ὄρνιν ἠπάτησε τοιούτῳ·
" κόραξ, καλαί σοι πτέρυγες, ὀξέη γλήνη,
" θηητὸς αὐχήν· στέρνον ἀετοῦ φαίνεις· 5
" ὄνυξι πάντων θηρίων κατισχύεις·
" ὁ τοῖος ὄρνις κωφὸς ἐσσὶ κοὐ κρώζεις!"
κόραξ δ' ἐπαίνῳ καρδίην ἐχαυνώθη,
στόματος δὲ τυρὸν ἐκβαλὼν ἐκεκράγει.
τὸν ἡ σοφὴ λαβοῦσα κερτόμῳ γλώσσῃ, 10
" οὐκ ἦσθ' ἄφωνος," εἶπεν, " ἀλλὰ φωνήεις.
" ἔχεις, κόραξ, ἅπαντα· νοῦς δέ σοι λείπει."

notis, et Heyn. ad Il. XXIII. 300. (vol. 8. p. 415.)
5. θειητὸς A. Corr. Boiss. ib. αἰετοῦ A.
10. τὸν δ' ἡ Baiterus et Lachmannus.

FAB. LXXVIII.

ΚΟΡΑΞ ΝΟΣΩΝ.

Κόραξ νοσήσας εἶπε μητρὶ κλαιούσῃ·
" μὴ κλαῖε, μῆτερ· ἀλλὰ τοῖς θεοῖς εὔχου
" νόσου με δεινῆς καὶ πόνων ἀνασφῆλαι."
" καὶ τίς σε," φησὶ, " τῶν θεῶν, τέκνον, σώσει;
" τίνος γὰρ ὑπὸ σοῦ βωμὸς οὐκ ἐσυλήθη;" 5

Duo fabulæ pedestres ap. Cor. f. 132. p. 73. 334.

FAB. LXXIX.

ΚΥΩΝ ΚΑΙ ΣΚΙΑ.

Κρέας κύων ἔκλεψεν ἐκ μαγειρείου.
καὶ δὴ παρῄει ποταμόν· ἐν δὲ τῷ ῥείθρῳ
πολὺ τοῦ κρέως ἰδοῦσα τὴν σκιὴν μείζω,
τὸ κρέας ἀφῆκε, τῇ σκιῇ δ' ἐφωρμήθη.
ἀλλ' οὔτ' ἐκείνην εὗρεν, οὔθ' ὃ βεβλήκει, 5
πεινῶσα δ' ὀπίσω τὸν πόρον διεξῄει.
βίος ἀβέβαιος παντὸς ἀνδρὸς ἀπλήστου
ἐλπίσι ματαίαις πραγμάτων ἀνήλωται.

Sex fabulæ pedestres, Babrium secutæ, et tetrastichon Ignatianum, Cor. f. 209. p. 135. Schneid. f. 132. p. 68. Habent quoque Dositheus n. 11. Phædrus I. 4. Conf. Knoch. p. 191.

3. τοῦ omittit Fixius.
7—8. Citat Georgid. Gnomol. ap. Boisson. Anecd. Gr. vol. I. p. 17. ubi ματαίων et ἀναλοῦται. Epimythium uncinis includit Lachmannus.

FAB. LXXX.

ΚΑΜΗΛΟΣ.

Κάμηλον ἠνάγκαζε δεσπότης πίνων
ὀρχεῖσθ' ὑπ' αὐλοῖς κυμβάλοις τε χαλκείοις.
ἡ δ' εἶπ'· "ἐμοὶ γένοιτο κἂν ὁδῷ βαίνειν
"ἄνευ γέλωτος, μή τι κἂν χορῷ παίζειν."

Brevis fabula pedestris ap. Cor. f. 405. p. 265.

3. κἂν A. Corr. Boiss.
3—4. Citat Suid. in πυρρίχαις. ἐμοὶ γένοιτο κἂν ὁδῷ βαίνειν Μὴ καταγέλαστον μήτε πυρρίχην παίζειν.

FAB. LXXXI.

ΑΛΩΠΗΞ ΚΑΙ ΠΙΘΗΚΟΣ.

Κερδὼ πιθήκῳ φησίν· "ἣν ὁρᾷς στήλην,
"ἐμὴ πατρῴη τ' ἐστὶ κἄτι παππῴη."
κερδοῖ πίθηκος εἶπεν· "ὡς θέλεις ψεύδου,
"ἔλεγχον οὐκ ἔχουσα τῆς ἀληθείας."
κακοῦ πρὸς ἀνδρός ἐστι μὴ φυγεῖν ψεῦδος, 5
ἣν λανθάνειν ψευδόμενος εὐχερῶς μέλλῃ.

Extant duo fabulæ pedestres, Cor. f. 374. p. 241. Schneider f. 14. p. 9. Una harum epimythium habet quod cum epimythio pedestri in cod. A. pæne conspirat.

1—2. Citat Suid. in *πίθηκος*, ubi *ἐμοὶ, καί τι* et *τοῦτ' ἔστι κἔτι* codices. *κἄτι* correxerat Toupius. *ἐμὴ πατρῴα τ' ἐστὶ κἂν μὴ παππῴα* A. In v. 1. *κερδοῖ πίθηκος εἶπεν* et in v. 3. *κερδὼ πιθήκῳ φησὶν* Ahrensius post Huschkium Diss. de Fab. Archil. p. 227. confirmant hanc emendationem duo paraphrases, quæ vera esse videtur, quamvis Suidas cum cod. A. conspiret.

5. *φεύγειν* A.

6. *κ' ἂν* A. *ἂν* Sauppius. v. 5—6. pro spuriis habet Lachmannus post Dübnerum.

FAB. LXXXII.

ΛΕΩΝ ΚΑΙ ΑΛΩΠΗΞ.

Κοιμωμένου λέοντος ἀγρίης χαίτης
διέδραμεν μῦς· ὁ δὲ λέων ἐθυμώθη·

Extant tres fabulæ pedestres, cum tetrasticho Ignatiano, et J. Tzetzæ allusione, Cor. f. 218. p. 141. 374. Schneider f. 144. p. 74.

1—3. Citat Suidas in *φριξότριχα*, et v. 3. iterum in *φωλάδι*, ubi *ἔκθορε φωλάδος κοίλης* cum explicatione *σπηλαίου κρυπτοῦ*, et

φρίξας δὲ χαίτην ἔθορε φωλάδος κοίτης.
κερδὼ δ' ἐπεχλεύαζεν, ὡς ἐκινήθη
πρὸς μῦν ὁ πάντων θηρίων τυραννεύων. 5
ὁ δ', "οὐχὶ τὸν μῦν," εἶπεν, "ὦ παλαμναίη,
"δέδοικα, μή μου τὴν δορὴν κνίσῃ φεύγων·
"κακὴν δὲ μελέτην ἐπ' ἐμὲ τῆς ὁδοῦ τρίβει."
ἀρχόμενον ἄρτι τὸ θρασὺ τῶν ὑβριζόντων,
κἂν μικρὸν ᾖ, κώλυε, μηδὲ συγχώρει 10
εὐκαταφρόνητον σαυτὸν εἶναι τοῖς φαύλοις.

in ἔκθορεν. κοίτης A. ut unus codex Suid. in ἔκθορεν. κοίλης ἔσω σπήλυγγος citat Boiss. e f. 103. v. 3. conf. f. 95. v. 37.

5. ὁ πάντων βασιλεύων θηρίων A. Legendum ὁ πάντων θηρίων τυραννεύων (cum Fixio et aliis) aut δυναστεύων. Cf. f. 95. v. 16. τίς οὖν μετ' αὐτὸν θηρίων τυραννήσει, et inf. v. 20. In f. 102. v. 4. δυναστεία leonis memoratur.

6—8. Citat Suid. in παλαμναία, ubi duo ultimi versus ita repræsantur:

δέδοικα μή μου τὴν δορὰν δάκοι φεύγων,
χαίτην δ' ἔμελλε τὴν ἐμὴν καταισχύνειν.

Pedestres fabulæ, observante Boiss., lectionem codicis A. sequuntur. Conf. Knoch. p. 162.

11. εἶναι σαυτὸν A. Transposuit Boiss. Fortasse legendum ἔμμεναί σε; sed totum epimythium cum Lachmanno potius pro spurio habendum.

FAB. LXXXIII.

ΙΠΠΟΣ ΚΑΙ ΑΝΘΡΩΠΟΣ.

Κριθάς τις ἵππου πᾶσαν ἡμέρην πίνων
ἔτριβεν, ἐκτένιζεν ἡμέρῃ πάσῃ·

Una fabula pedestris, Babrio proxima, Cor. f. 195. p. 123.

1. Post ἵππου aliqua excidisse statuunt Dübnerus et Meinekius. Mihi sensus integer videtur, quem diffusius reddidit paraphrastes.

ib. ἡμέραν A. ἡμέρην Baiterus.

ὁ δ' εἶπεν· "εἰ θέλεις με ταῖς ἀληθείαις
"καλὸν γενέσθαι, τὸ τρέφον με μὴ πώλει."
τῶν καιρίων δεῖ τὸν φιλοῦντα φροντίζειν 5
καὶ συμφερόντων· κόσμος οὐδὲν ὠνήσεν
* * τὸν ἀποροῦντα τῶν ἀναγκαίων.

3. ὅδ' A. Corr. Boiss.

5—7. Prosa oratione et a præcedentibus separatum exhibet A. ubi ὅτι τῶν, et κόσμος γὰρ, quæ emendavit Boiss. Lacunam inserto σαφ' ἴσθι idem explevit. Potuit ὦ Βράγχε inserere. ὤνησεν pro ὠνήσει, quod habet A., corrigit Fixius, sed totum epimythium pro spurio habet. Hoc epimythium prosa oratione scriptum post Dübnerum censuit Lachmannus, et in textum non recepit. Potest serioris poetæ fœtus esse, sed choliamborum vestigia mihi haud dubia continere videtur.

FAB. LXXXIV.

ΚΩΝΩΨ ΚΑΙ ΤΑΥΡΟΣ.

Κώνωψ ἐπιστὰς κέρατι καμπύλῳ ταύρου,
μικρόν τ' ἐπισχὼν, εἶπε ταῦτα βομβήσας·
"εἴ σου βαρύνω τὸν τένοντα καὶ κλίνω,

Tres fabulæ Babrianæ paraphrases, cum tetrasticho Ignatiano, ap. Cor. f. 213. p. 138—9. Schneider f. 136. p. 70. Edita prius erat fabula metrica e codice Dosithei magistri (n. 16. p. 36. Boecking.) Vide Tyrwhitt. Diss. p. 192. Mus. Phil. I. p. 292. Knoch. p. 88.

1. επιτας cod. Voss. quod in ἐπιπτὰς mutavit Tyrwhittus.

ib. κέρατι A. κέπατι Voss. κρατὶ conj. Dobræus Adv. vol. I. p. 559. Sed Babrius penultimam in κέρατος et similibus nunc corripit, nunc producit.

2. δὲ ἔπισχον Voss. cf. f. 108. v. 24. μικρὸν δ' ἐπισχὼν, εἶτ' ἔσωθεν ἐκκύψας.

3. σαίνω A. κλίνω recte Voss. Orta prior lectio ex confusione ΚΑΙCΑΙ et ΚΑΙΚΑΙ.

"καθεδοῦμ' ἀπελθὼν ποταμίας ἐπ' αἰγείρου."
ὁ δ', "οὐ μέλει μοι," φησὶν, "οὔτ' ἐὰν μείνῃς, 5
οὔτ' ἢν ἀπέλθῃς· οὐδ' ὅτ' ἦλθες ἐγνώκειν."
[γελοῖος ὅστις οὐδὲν ὢν κατ' ἀνθρώπων
τῶν κρειττόνων θρασύνεθ' ὥς τις ὢν σφόδρα.]

4. καθευδομαι η κατελθω Voss.
ib. ποταμίης Baiterus. ποταμιοσις ιναιγιροις Voss., id est, ποταμίαις ἐν αἰγείροις.
5. μέλλει A. μελι Voss.
6. οὔθ' ὅτε A. ουτε οτε Voss. οὐδ' ὅτ' Tyrwhitt.
ib. ἂν A. et Voss.
7—8. Absunt a Voss. Uncis inclusit Lachmannus.
8. λίην pro σφόδρα corr. Boiss. qui de λίην et σφόδρα confusis citat f. 21. v. 4. f. 36. v. 6.

FAB. LXXXV.

ΚΥΝΕΣ ΚΑΙ ΛΥΚΟΙ.

Κυσίν ποτ' ἔχθρα καὶ λύκοις συνειστήκει.
κύων δ' Ἀχαιὸς ἡρέθη κυνῶν δήμου
στρατηγὸς εἶναι. καὶ μάχης ἐπιστήμων
ἔμελλεν, ἐβράδυνεν. οἱ δ' ἐπηπείλουν,
εἰ μὴ προάξει, τὴν μάχην δ' ἐνεδρεύσει. 5

Fabula pedestris ap. Cor. f. 359. p. 235.

1. ἔχθρη Baiterus.
2. ἡρέθη A. Corr. Boiss.
5. εἰ μὴ προάξῃ τὴν μάχην ἐνεδρεύσει A. εἰ μὴ προάξει, τὴν μάχην δ' ἐνεδρεύσει emendavit Fixius, hoc est, 'Si non educat e castris, sed occasionem pugnandi insidiis aucupetur.' Verbum ἐνεδρεύω usurpat noster f. 1. v. 14. f. 17. v. 1. f. 75. v. 6. et προάγειν f. 7. v. 7. προάξει et ἐνεδρεύσειν Lachmann.

“ ἀκούσατ’,” εἶπεν, “ οὗ χάριν διατρίβω,
“ τί δ’ εὐλαβοῦμαι· χρὴ δ’ ἀεὶ προβουλεύειν.
“ τῶν μὲν πολεμίων τὸ γένος ὧν ὁρῶ πάντων
“ ἕν ἐστιν· ἡμῶν δ’ ἦλθον οἱ μὲν ἐκ Κρήτης,
“ οἱ δ’ ἐκ Μολοσσῶν· εἰσὶν οἵδ’ Ἀκαρνάνων, 10
“ ἄλλοι δὲ Δόλοπες· οἱ δὲ Κύπρον ἢ Θρᾴκην
“ αὐχοῦσιν· ἄλλοι δ’ ἄλλοθεν. τί μηκύνω;
“ τὸ χρῶμα δ’ ἡμῖν οὐχ ἕν ἐστιν ὡς τούτοις.
“ ἀλλ’ οἱ μὲν ἡμῶν μέλανες, οἱ δὲ τεφρώδεις,
“ ἔνιοι δὲ λαμπροὶ καὶ διάργεμοι στήθη, 15
“ ἄλλοι δὲ λευκοί· πῶς ἂν οὖν δυνηθείην
“ εἰς πόλεμον ἄρχειν,” εἶπε, “ τῶν ἀσυμφώνων
“ πρὸς τοὺς ὅμοια πάντ’ ἔχοντας ἀλλήλοις;”
συμφωνία μέγιστον ἀγαθὸν ἀνθρώποις.
[τὸ δὲ στασιάζον ἀσθενές τε καὶ δοῦλον.] 20

---

10. οἵ δ’ A. Corr. Boiss. οἱ δ’ ἐκ Μολοσσῶν εἰσὶν, οἱ δ’ Ἀκαρνάνων Fixius.

14—5. Citat Suidas in διάργεμοι, ubi ἀλλ’ οἱ μὲν ἡμῶν et ἕτεροι ξανθοὶ pro ἔνιοι δὲ λαμπροί. ἄλλοι μὲν ἡμῶν A. Conf. Knoch. p. 158. Paraphrastes habet, ἀλλ’ οἱ μὲν μέλανες, οἱ δὲ πυρροὶ, οἱ δὲ λευκοὶ, οἱ δὲ τεφρώδες, ubi πυρροὶ pro λαμπροὶ et λευκοὶ pro διάργεμοι reposuit.

19. συμφωνίη Baiterus. Si cum Dübnero et Lachmanno totum epimythium Babrio non abjudicandum est, de ultimo versu saltem dubitare licet. Conf. fab. 47. v. 15.

FAB. LXXXVI.

ΑΛΩΠΗΞ ΟΓΚΩΘΕΙΣΑ.

Κοίλωμα ῥίζης φηγὸς εἶχεν ἀρχαίη.
ἐν τῇ δ' ἔκειτο ῥωγὰς αἰπόλου πήρη,
ἄρτων ἑώλων πᾶσα καὶ κρεῶν πλήρης·
ταύτην ἀλώπηξ εἰσδραμοῦσα τὴν πήρην
ἐξέφαγε· γαστὴρ δ', ὥσπερ εἰκὸς, ὠγκώθη, 5
στενῆς δὲ τρώγλης οὐκέτ' εἶχεν ἐκδῦναι.
ἑτέρα δ' ἀλώπηξ, ὡς ἐπῆλθε κλαιούσῃ,
σκώπτουσα, "μεῖνον," εἶπεν, "ἄχρι πεινήσῃς·
"οὐδ' ἐξελεύσῃ πρότερον ἄχρι τοιαύτην
"τὴν γαστέρα σχῇς, ἡλίκην ὅτ' εἰσῄεις." 10

Extant hujus fabulæ quattuor paraphrases, et tetrastichon Ignatianum, Cor. f. 158. p. 95. 350. Schneider f. 24. p. 15. Similem fabulam de vulpe et mustela habet Horatius Epist. I. 7. 29. ubi consule Orellii notam. Eandem quam Babrius expressit fabulam respicit Dio Chrysost. Or. 47. vol. II. p. 232. ed. Reiske.

2—3. Citat Suidas in ῥωγάς, ubi αἰπόλων πήρα. In v. ἕωλα citat καὶ ἑώλων κρεῶν πλήρεσι et ἔκειτο πήρα ἄρτων, quæ ex Babrii verbis corrupta monet Toupius. Vid. Knoch. p. 165.

6. στεινῆς Bait. coll. f. 108. v. 22.

7. ἑτέρη Bait.

8. σκώπτουσ' ἀνάμεινον A. quod correxit Dübnerus. cf. f. 1. v. 5.

9. Hunc versum delet Fixius, et in v. 10. καὶ γαστέρα emendat. Si versus retinetur, legit εἶπε μέχρι in v. 8. et οὐκ ἐξελεύσῃ in v. 9.

FAB. LXXXVII.

ΚΥΩΝ ΚΑΙ ΛΑΓΩΟΣ.

Κύων λαγωὸν ἐξ ὄρους ἀναστήσας
ἐδίωκε δάκνων αὐτὸν, εἰ κατειλήφει·
μεταστραφεὶς δ' ἔσαινεν ὡς φίλου ψαύων.
ὁ λαγωὸς, "ἁπλοῦν," δ' εἶπε, "θηρίον γίγνου·
"φίλος εἶ; τί δάκνεις; ἐχθρὸς εἶ; τί οὖν σαίνεις;"
ἀμφίβολος οὗτός ἐστι νοῦς ἐν ἀνθρώποις, 6
οἷς οὔτ' ἀπιστεῖν ἔχομεν, οὔτε πιστεύειν.

Tres fabulæ pedestres ex Babrio desumptæ ap. Cor. f. 354. p. 229. Schneid. f. 135. p. 69. Fabulam Æsopo tribuit Tzetzes Chil. VIII. 844.

1. Conf. f. 69. v. 1.

2—3. Sensus horum versuum (quem diverse cepere critici), mihi videtur esse: 'Canis mordebat leporem, si quando eum attingeret; at rursum conversus blandiebatur ei ut amico.' φίλου pro φίλῳ corr. Sauppius.

6—7. Uncis includit Lachmannus.

FAB. LXXXVIII.

ΚΟΡΥΔΑΛΟΣ ΚΑΙ ΝΕΟΣΣΟΙ.

Κορυδαλὸς ἦν τις ἐν χλόῃ νεοσσεύων,
καὶ τῷ χαραδριῷ πρὸς τὸν ὄρθρον ἀντᾴδων·

Hæc fabula pæne integra restituta est e cod. Vat. Furia p. 379. Cor. p. 273. vide Mus. Phil. I. p. 300. Knoch. p. 128.

1. χαράδριος ἦν τις Vat. Penultimam in κορυδαλὸς corripere videtur Babrius: cf. f. 72. v. 20. et inf. v. 8. et 17. A κορυδὸς credo κορυδαλὸς formatum fuisse, ut πάσσαλος, κονίσσαλος, ὄμφα-

ὃς παῖδας εἶχε, ληΐου κόμῃ θρέψας,
λοφῶντας ἤδη καὶ πτεροῖσιν ἀκμαίους.
ὁ δὲ τῆς ἀρούρης δεσπότης, ἐποπτεύων 5
ἀνθηρὸν ἤδη τὸ θέρος, εἶπε· "νῦν ὥρη
"πάντας λαβεῖν μοι τοὺς φίλους, ἵν' ἀμήσω."

Codicis Vat. fabulator aliam Babrii recensionem secutus est, in qua charadrii et κορυδαλοῦ partes permutantur. Suidas in λόφος fabulam ut in cod. A. videtur legisse; nam post citatos v. 3 et 4. adjungit, περὶ κορυδαλοῦ φησί. Ita quoque Gellius N. A. II. 29. qui fabulam Æsopo tribuit. Alia fabella de κυρυδαλῷ ap. Cor. f. 55. p. 33. a Babrio videtur descendisse. Conf. Avian. f. 21.

λος, τροχαλὸς, κρόταλος, penultima brevi; et deinceps, metri heroici gratia, syllabam reduplicatione productam, ita ut κορυδαλλὸς fieret. Hac forma utitur Theocritus, priore Babrius.

2. τῷ κορυδαλῷ Vat. ὃς τῷ χαραδραίῳ A. Si ὃς servatur, ἀντῆδεν cum Boiss. legendum. Malui καὶ τῷ χαρ. cum Sauppio rescribere. ὁ τῷ χαρ. Lachm.

3. καὶ παῖδας A. ὃς παῖδας Sauppius. De charadrio egit Knochius p. 130. de κορυδαλῷ Lobeck ad Phryn. p. 338. Hujus aviculæ λόφος a Simonide celebratus est. Simon. fr. 110. p. 114. ed. Schneidewin.

ib. κόμαις Vat.

3—4. Citat Suid. in λόφος.

6. ὡς ξηρὸν εἶδε τὸ θέρος A. ἀνθηρὸν ὂν τὸ θέρος Vat. Alibi apud Babrium ἐποπτεύω cum casu construitur, f. 2. v. 8. τὰ πάντ' ἐποπτεύειν, f. 3. v. 7. ὃς νάπας ἐποπτεύει. Ap. Suid. in νέμεσις. παρῆν δὲ Νέμεσις, ἣ τὰ γῆς ἐποπτεύει. (vide sup. ad f. 43. v. 6.) Hinc præferenda est lectio Vaticani codicis, ὂν in ἤδη cum Blomfieldio mutato; quæ vox in εἶδε, lectionem cod. A., transiisse videtur.

ib. ὥρη hic et v. 18. cum A. habet Vat. et ἀρούρης v. 5.

7. καλεῖν με Vat. Homerus et seriores epicæ poeseos scriptores priorem in ἀμᾶν et producunt et corripiunt; vide Heyn. ad Il. XXIV. 165. vol. VIII. p. 625. Primam producit ap. Theognin v. 107.

καί τις κορυδαλοῦ τῶν λοφηφόρων παίδων
ἤκουεν αὐτοῦ, τῷ τε πατρὶ μηνύει,
σκοπεῖν κελεύων ποῦ σφέας μεταστήσει. 10
ὁ δ' εἶπεν· "οὔπω καιρός ἐστι νῦν φεύγειν·
"ὃς γὰρ φίλοις πέποιθεν οὐκ ἄγαν σπεύδει."
ὡς δ' αὖθις ἐλθὼν, ἡλίου θ' ὑπ' ἀκτίνων
ἤδη ῥέοντα τὸν στάχυν θεωρήσας,
μισθὸν μὲν ἀμητῆρσιν αὔριον πέμψειν, 15
μισθὸν δὲ πᾶσι δραγματηφόροις δώσειν
εἶπεν, κορυδαλὸς παισὶ νηπίοις οὕτως·
"νῦν ἔστιν ὥρη, παῖδες, ἀλλαχοῦ φεύγειν,
"ὅτ' αὐτὸς αὐτῷ κοὐ φίλοισι πιστεύει.

---

8. κορυδοῦ A. κορυδαλοῦ Lachmannus, χαραδριοῦ Vat.

9. ἤκουσεν Vat.

11. τοῦ φεύγειν Vat. quod præstat.

12. ὃς τοῖς φίλοις Vat.

13. ὡς αὖτις ἦλθεν A. ὡς δ' αὖθις ἐλθὼν Vat.

ib. ἡλίου δ' ὑπ' A. ἡλίου θ' ὑπ' Vat.

Pro 15—6. μισθὸν μὲν ἀμυντῆρσιν αὔριον δώσειν A. Restitui locum ex Vat., ubi ἀμήτορσιν et δραγματοφόροις, jamdiu a Blomfieldio emendata. Emendationem ἀμητῆρσιν lectio cod. A. confirmat. In A scribæ errorem fecerunt duo versus, se excipientes, qui ambo cum eadem voce incipiebant, et in eandem syllabam desinebant.

17. ἔλεγε, εἶπε χαραδριὸς πᾶσι νηπίοις οὕτως Vat. ὄντως pro οὕτως A. Legi etiam potest; ἔλεγε, κορυδαλὸς εἶπε νηπίοις οὕτως.

18—9. E Babrio citat Suid. in ἀμᾶν, ubi ὄντως pro ὥρη, ἐκ τόπων pro ἀλλαχοῦ, et ἀμᾶ pro αὐτῷ.

19. αὐτῷ A. Corr. Boiss.

FAB. LXXXIX.

ΛΥΚΟΣ ΚΑΙ ΑΡΝΙΟΝ.

Λύκος πότ' ἄρνα πεπλανημένον ποίμνης
ἰδὼν, βίᾳ μὲν οὐκ ἐπῆλθεν ἁρπάξων,
ἔγκλημα δ' ἔχθρας εὐπρόσωπον ἐζήτει.
" σὺ δ' ἐμὲ τί πέρυσι μικρὸς ὢν ἐβλασφήμεις."
" ἐγὼ οὐ περυσινὸς, ὃς γ' ἐπ' ἔτος ἐγεννήθην." 5
" οὐκοῦν σὺ τὴν ἄρουραν, ἣν ἔχω, κείρεις."
" οὔπω τι χλωρὸν ἔφαγον, οὐδ' ἐβοσκήθην."
" οὐδ' ἆρα πηγὴν ἐκπέπωκας ἣν πίνω ;"
" θηλὴ μεθύσκει μέχρι νῦν με μητρῴη."
τότε δὴ τὸν ἄρνα συλλαβών τε καὶ τρώγων, 10
" ἀλλ' οὐκ ἄδειπνον," εἶπε, " τὸν λύκον θήσεις,
" κἂν εὐχερῶς μου πᾶσαν αἰτίην λύσῃς."

Tres fabulæ pedestres, a Babrio derivatæ, ap. Cor. f. 229. p. 150. 378. cum tetrasticho Ignatiano. Eandem fabulam habet Phædrus I. 1. Confer similis argumenti fabulam, 'Felis et Gallus,' ap. Cor. f. 6. p. 7. Schneider. f. 16. p. 10.

ἀρχὴ τοῦ λ̄ A.
2. βίῃ Baiterus.
3. ἔχθρης Baiterus.
4. σύ με τί πέρυσι A. σὺ δ' ἐμὲ τί πέρυσι Fixius, σύ μ', εἶπε, πέρυσι Baiterus. οὐ σύ με τι Meinekius. μ' ἔτι Bekkerus.
5. ἐγὼ οὐ περύσινος ἐπ' ἔτος A. περύσινός εἰμ' Sauppius, περύσινος, ἀλλ' vel ὅς γ' Baiterus, ἐγὼ οὐ σὲ πέρυσιν, ὡς ἐπ' ἔτος Fixius.
9. μητρῴα A. μητρῴη Boiss.
12. αἰτίαν A. αἰτίην Boiss.

FAB. XC.

ΛΕΩΝ ΚΑΙ ΝΕΒΡΟΣ.

Λέων ἐλύσσα· τὸν δὲ νεβρὸς ἐξ ὕλης
ἰδὼν ἔφησεν· "ἡμέων ταλαιπώρων!
"τί γὰρ μεμηνὼς οὗτος οὐχὶ ποιήσει,
"ὃς ἦν φορητὸς οὐδὲ σωφρονῶν ἡμῖν;"

Hujus fabulæ superest tantum tetrastichon Ignatianum, Cor. f. 348. p. 226.

FAB. XCI.

ΤΑΥΡΟΣ ΚΑΙ ΤΡΑΓΟΣ.

Λέοντα φεύγων ταῦρος εἰς ἐρημαίην
σπήλυγγα κατέδυ ποιμένων ὀρειφοίτων,
ὅπου τράγος τις χωρὶς αἰπόλου μείνας
τὸν ταῦρον ἐμβὰς τοῖς κέρασιν ἐξώθει.

Extant tres fabulæ pedestres, cum tetrasticho Ignatiano, ap. Cor. f. 277. p. 181. f. 382. p. 244. Schneid. f. 214. p. 108. Conf. Avian. f. 13.

2. *σπήλιγγα* A. Corr. Boiss.

4. *τὸν ταῦρον ἐμβάντα τοῖς κέρασιν ἐξώθει* A. Si *ἐμβῆναι* sensu *ingrediendi* usurpavit Babrius, legendum *ἐμβάντα τοῦτον* e fab. pedestri, *λέοντα φεύγων ταῦρος εἰσῆλθεν εἰς σπήλαιον, τράγος δὲ τοῦτον τοῖς κέρασιν ἐξώθει*, Cor. p. 181. Sed *ἐμβὰς* recte emendaverunt Schneidewinus et Baiterus, quod *resistendi* significationem habet. Cf. Iliad. XVI. 94. ubi *ἐμβήῃ* per *ἐμποδὼν στῇ, ἐμποδίσῃ* explicant grammatici. (Heyne, vol. VII. p. 155). *τὸν ταῦρον ἐμβαλόντα* (vel *ἐμβαίνοντα*) *κέρασιν ἐξώθει* conjiciunt Fixius et Lachmannus.

ὁ δ᾿ εἶπεν· "οὐ σέ, τὸν λέοντα δ᾿ ἐκκλίνω. 5
"ἀνέξομαί σου μικρὰ τῆς ἐπηρείης·
"ἐπεὶ παρελθέτω με, καὶ τότε γνώσῃ
"πόσον τράγου μεταξὺ καὶ πόσον ταύρου."

5. ἐξωθῶ, cum varietate marginali ἐκκλίνω A.

FAB. XCII.

ΚΥΝΗΓΟΣ ΔΕΙΛΟΣ.

Λέοντά τις κυνηγὸς οὐχὶ τολμήεις
ἴχνευεν ὀρέων ἐν βαθυσκίοις ὕλαις·
δρυτόμῳ δὲ μακρᾶς ἐγγὺς ἐντυχὼν πεύκης,
"ὦ πρὸς σὲ Νυμφῶν," εἶπεν, "ἆρα γινώσκεις
"ἴχνη λέοντος, ὅστις ὧδε φωλεύει;" 5
κἀκεῖνος εἶπεν· "ἀλλὰ σὺν θεῷ βαίνεις·
"αὐτὸν γὰρ ἤδη τὸν λέοντά σοι δείξω."
ὁ δ᾿ ὠχριήσας γομφίους τε συγκρούων,
"μή μοι χαρίζου," φησὶ, "πλεῖον οὗ χρῄζω·
"τὸ δ᾿ ἴχνος εἰπέ· τὸν λέοντα μὴ δείξῃς." 10

Fabula pedestris, a Babriana decurtata, cum tetrasticho Ignatiano, Cor. f. 175. p. 108.

3. μακρῆς Baiterus.
8—9. Versum et dimidium citat Suid. in γομφίους, ubi ὠχρήσας et συγκρούσας. ὠχριάσας et συγκρούων A. cf. Knoch. p. 157.

9. οὐ A. Corr. Boiss. Epimythium pedestre hujus fabulæ in versus choliambicos redigere conatus est Boissonadius: postea vidit non esse Babrianum.

FAB. XCIII.

ΛΥΚΟΙ ΚΑΙ ΠΡΟΒΑΤΑ.

Λύκων παρῆσαν ἄγγελοί ποτ' εἰς ποίμνην,
ὅρκους φέροντες καὶ βέβαιον εἰρήνην,
ἐφ' ᾧ λάβωσι τοὺς κύνας πρὸς αἰκίην,
δι' οὓς μάχονται καὶ κοτοῦσιν ἀλλήλοις.
μωρὰ δὲ ποίμνη καὶ τὰ πάντ' ἀβληχρώδης 5
πέμπειν ἔμελλεν. ἀλλά τις γέρων ἤδη
κριὸς, βαθείῃ φρικὶ μαλλὸν ὀρθώσας,
"καινῆς γε ταύτης," εἶπε, "τῆς μεσιτείης!
"ἀφύλακτος ὑμῖν πῶς ἐγὼ συνοικήσω,
"δι' οὓς νέμεσθαι μηδὲ νῦν ἀκινδύνως 10
"ἔξεστι, καίτοι τῶν κυνῶν με τηρούντων;"

Præter unam Aphthonii, n. 21. extant tres fabulæ similis, sed non ejusdem argumenti, ap. Cor. f. 237. p. 155—6. In hac oves decipiuntur et a lupis devorantur. (Conf. Phædri fabulam de Milvo et Columba, I. 31.) Alia recensio f. 238. p. 156. a Babrio derivatur. Conf. Knoch. p 152.

5. τὰ πάντ' ἀμβληχρώδης A. ἀβληχρώδης Boiss. conf. ἀβληχρὸς f. 36. v. 7. Versum et dimidium citat Suidas in βληχώδης, ubi μωρὸς δὲ ποιμὴν καὶ τὰ πάντα βληχώδης. Recensionem aliam et meliorem Suidam secutum esse censet Boiss. quæ pastoris personam continebat. Mihi videtur Suidæ lectio ποιμὴν pro ποιμνὴ omnino corrupta esse. Fabulæ pedestris auctor eundem textum quem exhibet codex A. ante se habuit. τὰ μωρὰ δὲ πρόβατα συνέθεντο τοῦτο ποιῆσαι, Cor. p. 156.

7. μᾶλλον cum correctione μαλλὸν A.

10. νέμεσθε A. Corr. Boiss.

FAB. XCIV.

ΛΥΚΟΣ ΚΑΙ ΕΡΩΙΔΙΟΣ.

Λύκῳ ποτ' ὀστοῦν φάρυγος ἐντὸς ἠρείσθη·
ἐρῳδιῷ δὲ μισθὸν ἄξιον δώσειν
ἔταξε, τὸν τράχηλον εἰ καθιμήσας
ἀνελκύσειε, καὶ πόνων ἄκος δοίη.
ὁ δ' ἑλκύσας τὸν μισθὸν εὐθέως ᾔτει. 5
κἀκεῖνος αὐτῷ, κάρχαρόν τι μειδήσας,
" σοὶ μισθὸς ἀρκεῖ," φησὶ, " τῶν ἰατρειῶν,
" κεφαλὴν λυκείου στόματος ἐξελεῖν σῴην."
κακοῖς βοηθῶν μισθὸν ἀγαθὸν οὐ λήψῃ·
[ἀλλ' ἀρκέσει σοι μή τι τῶν κακῶν πάσχειν.] 10

Tres fabulæ pedestres, a Babriana desumptæ, ap. Cor. f. 144. p. 85—6. 342. Schneider. f. 153. p. 79. cum tetrasticho Ignatiano. In omnibus his, præter Schneiderianam, *γέρανος* pro *ἐρωδιῷ* comparet. Conf. Aphthon. f. 25. Phædr. I. 8. Proverbium *ἐκ λύκου* (aut *λυκείου*) *στόματος* ap. Zenob. III. 48. hanc fabulam respicere videtur.

1. *φάρυγγος* A. Corr. Boiss.
3. *καθειμήσας* A. Corr. Boiss. ib. *ἔταξε*] *ἔφασκε* conjicit Fix. Sed *τάσσειν*, *statuere*, *pacisci* significat.
6—8. Citat Suidas in *καρχαρόδους*, ubi *καὶ κάρχαρον*, *φάρυγος* pro *στόματος*, et *σώαν* pro *σῴην*. *φάρυγος* correxit Kusterus. Conf. Knoch. p. 170.
7. *ἰατρείων* A. E Suida correxit Boiss. 'Ιατρεία hic et *ἰατρεύω* f. 120. v. 6. primam corripiunt, ut *ἰατρὸς* f. 75. v. 11 et 15.
10. *πάθοις* A. *πάσχειν* Boiss. Vv. 9 et 10. rejecit Lachmannus; ultimus saltem spurius videtur.

FAB. XCV.

ΛΕΩΝ ΝΟΣΩΝ.

Λέων νοσήσας ἐν φάραγγι πετραίῃ
ἔκειτο νωθρὰ γυῖα γῆς ἐφαπλώσας·
φίλην δ᾽ ἀλώπεκ᾽ εἶχεν, ᾗ προσωμίλει.
ταύτῃ ποτ᾽ εἶπεν· "ἦ θέλεις με σὺ ζῴειν;
"πεινῶ γὰρ ἐλάφου τῆς ὑπ᾽ ἀγρίαις πεύκαις 5
"κεῖνον τὸν ὑλήεντα δρυμὸν οἰκούσης·
"καὶ νῦν διώκειν ἔλαφον οὐκέτ᾽ ἰσχύω·
"σὺ δ᾽ ἢν θελήσῃς, χεῖρας εἰς ἐμὰς ἥξει,
"λόγοισι θηρευθεῖσα σοῖς μελιγλώσσοις."
ἀπῆλθε κερδώ· τὴν δ᾽ ὑπ᾽ ἀγρίαις ὕλαις 10
σκιρτῶσαν εὗρε μαλθακῆς ὑπὲρ ποίης·
ἔκυσσε δ᾽ αὐτὴν πρῶτον, εἶτα καὶ χαίρειν
προσεῖπε, χρηστῶν τ᾽ ἄγγελος λόγων ἥκειν.
"ὁ λέων," ἔφασκεν, "οἶδας, ἔστι μοι γείτων·

Extant binæ fabulæ pedestres, e cod. Bodl. et Flor., quæ multa Babrii vestigia exhibent, Cor. f. 358. p. 231. 408. Conf. Tyrwhitt. Diss. de Bab. f. 7. Knoch. f. 145—7.

3. ἦν A. Ex fab ped. Corr. Boiss.

4. εἰ θέλεις A. ἦ θέλεις Boiss.

8. ἂν A. εἰς χεῖρας A. Transposuit Boiss.

11. μαλακῆς A. Corr. Boiss.

12. ἔσκυσε A. ἔσαινε Boiss. ἔκυσσε Baiterus. In fabula pedestri est προσπαίσασα (i.q. προσπεσοῦσα) δὲ αὐτῇ καὶ χαίρειν εἰποῦσα p. 408. Cor.

ib. αὐτῇ conjicit Fixius.

13. Constructio est, εἶπέ τε ἥκειν.

" ἔχει δὲ φαύλως, κἀγγύς ἐστι τοῦ θνήσκειν. 15
" τίς οὖν μετ' αὐτὸν θηρίων τυραννήσει,
" διεσκοπεῖτο· σῦς μέν ἐστιν ἀγνώμων,
" ἄρκτος δὲ νωθὴς, πάρδαλις δὲ θυμώδης,
" τίγρις δ' ἀλαζὼν καὶ τὸ πᾶν ἐρημαίη.
" ἔλαφον τυραννεῖν ἀξιωτάτην κρίνει· 20
" γαύρη μὲν εἶδος, πολλὰ δ' εἰς ἔτη ζώει·
" κέρας δὲ φοβερὸν πᾶσιν ἑρπετοῖς φύει,
" δένδροις ὅμοιον, κοὐχ ὁποῖα τῶν ταύρων.
" τί σοι λέγω τὰ πολλά; πλὴν ἐκυρώθης,
" μέλλεις τ' ἀνάσσειν θηρίων ὀρειφοίτων. 25
" τότ' ἂν γένοιτο τῆς ἀλώπεκος μνήμη,
" δέσποινα, τῆς σοι τοῦτο πρῶτον εἰπούσης.
" ταῦτ' ἦλθον. ἀλλὰ χαῖρε, φιλτάτη. σπεύδω
" πρὸς τὸν λέοντα, μὴ πάλιν με ζητήσῃ·
" χρῆται γὰρ ἡμῖν εἰς ἅπαντα συμβούλοις· 30
" δοκῶ δὲ καί σε, τέκνον, εἴ τι τῆς γραίης
" κεφαλῆς ἀκούεις. ἔπρεπέ σοι παρεδρεύειν
" ἐλθοῦσαν αὐτῷ, καὶ πονοῦντα θαρσύνειν.
" τὰ μικρὰ πείθει τοὺς ἐν ἐσχάταις ὥραις,

---

15. κἐγγὺς A. κἀγγὺς Dübner.
16. μετ' αὐτὸν A. Sententia μεθ' αὐτὸν poscere videtur.
21. De longa cervorum vita vide not. ad f. 46. v. 9. Et pro epitheto γαῦρος, cf. fab. 42. v. 6. 15.
22. De cervorum cum serpentibus inimicitia vid. Plin. H. N. VIII. 50. XXII. 37.
26. τότ' οὖν γένοιτο Sauppius et Lachmannus.
29. Legi potest μὴ πάλιν μ' ἐπιζητῇ, cf. v. 97. Sed easdem voces habet fabula pedestris e cod. Flor. p. 409. Cor. πάλαι μ' ἐζήτησεν Lachmannus.

“ ψυχαὶ δ' ἐν ὀφθαλμοῖσι τῶν τελευτώντων.” 35
ὣς εἶπε κερδώ. τῆς δ' ὁ νοῦς ἐχαυνώθη
λόγοισι ποιητοῖσιν· ἦλθε δ' εἰς κοίλην
σπήλυγγα θηρὸς, καὶ τὸ μέλλον οὐκ ᾔδει.
λέων δ' ἀπ' εὐνῆς ἀσκόπως ἐφορμήσας
ὄνυξιν οὔατ' ἐσπάραξεν ἀκραίοις, 40
σπουδῇ διωχθείς· τὴν δὲ φύζα δειλαίην
θύρης κατιθὺς ἦγεν εἰς μέσας ὕλας.
κερδὼ δὲ χεῖρας ἐπεκρότησεν ἀλλήλαις,
ἐπεὶ πόνος μάταιος ἐξανηλώθη.
κἀκεῖνος ἐστέναζε τὸ στόμα βρύχων· 45
ὁμοῦ γὰρ αὐτὸν λιμὸς εἶχε καὶ λύπη.
πάλιν δ' ἀλώπεχ' ἱκέτευε φωνήσας,
ἄλλον τιν' εὑρεῖν δεύτερον δόλον θήρης.
ἡ δ' εἶπε κινήσασα βυσσόθεν γνώμην·
“ χαλεπὸν κελεύεις αὖθις, ἀλλ' ὑπουργήσω.” 50
καὶ δὴ κατ' ἴχνος, ὡς σοφὴ κύων, ᾔει,
πλέκουσα τέχνας καὶ πανουργίας πάσας·
ἀεὶ δ' ἕκαστον ποιμένων ἐπηρώτα,
μή πού τις ἔλαφος ᾑματωμένη φεύγει·

---

36. ἐτυφλώθη fab. ped. in cod. Flor. ἐτυφώθη in cod. Bodl. Conf. f. 101. v. 6.

41. σπουδῇ διωχθείς. ‘Festinatione concitatus nimia.’ Boiss.

42. καθ' ἰθὺς A. Corr. Boiss.

45. ἐστέναξε ut in Fab. Bodl. Fixius. idem βρύκων legit.

47. πάλιν δὲ κερδὼ καθικέτευε φωνήσας A. Correxit Fixius ex fabula Bodl. ubi καὶ ἱκέτευε τὴν ἀλώπεκα ἐκ δευτέρου τι ποιῆσαι. Cor. p. 232. κερδοῦν ἱκέτευε Meinekius.

τὴν δ᾽ ὥς τις εἶδε, δεικνύων ἂν ὡδήγει, 55
ἕως ποθ᾽ εὗρεν ἐν κατασκίῳ χώρῳ
δρόμων ἀναψύχουσαν. ἡ δ᾽ ἀναιδείης
ὀφρύν τ᾽ ἔχουσα καὶ μέτωπον εἱστήκει.
ἐλάφου δὲ φρὶξ ἐπέσχε νῶτα καὶ κνήμας,
χολὴ δ᾽ ἐπέζει καρδίην· ἔφη δ᾽ οὕτω· 60
" σὺ νῦν διώκεις πανταχοῦ μ᾽ ὅποι φεύγω·
" ἀλλ᾽, ὦ στύγημα, νῦν μὲν οὐχὶ χαιρήσεις,
" ἤν μοι προσέλθῃς καί τι γρύξαι τολμήσῃς.
" ἄλλοις ἀλωπέκιζε τοῖς ἀπειρήτοις·
" ἄλλους δὲ βασιλεῖς ὑπερέθιζε καὶ ποίει." 65
τῆς δ᾽ οὐκ ἐτράφθη θυμός· ἀλλ᾽ ὑποβλήδην,
" οὕτως ἀγεννὴς," φησὶ, " καὶ φόβου πλήρης
" πέφυκας; οὕτω τοὺς φίλους ὑποπτεύεις;
" ὁ μὲν λέων σοι συμφέροντα βουλεύων,
" μέλλων τ᾽ ἐγείρειν τῆς πάροιθε νωθείης, 70
" ἔψαυσεν ὠτὸς, ὡς πατὴρ ἀποθνήσκων·
" ἔμελλε γάρ σοι πᾶσαν ἐντολὴν δώσειν,
" ἀρχὴν τοσαύτην πῶς λαβοῦσα τηρήσεις.

---

55. ἀνωδήγει A. ἂν ὡδήγει Dübnerus.

57. ἦδ᾽ A. Corr. Boiss.

58. ὀφρὺν ἔχουσα A.

59. ἔπεσχεν ὦτα A. ἔπεσχε νῶτα Meinekius.

60. χολῇ Dübnerus.

61. με καὶ A. μ᾽ ὅποι Hermannus.

63. γρύξαι τι A. τι γρύξαι Boiss. Fortasse φράσαι τι aut λέγειν τι legendum.

64. ἄλλους ἀλωπέκιζε τοὺς ἀπείρους in fab. ped.

66. ἐτέρφθη A. ἐτρέφθη Fixius, ἐτράφθη Bekkerus.

70. πάροιθεν A. Corr. Boiss.

"σὺ δ' οὐχ ὑπέστης κνίσμα χειρὸς ἀρρώστου,
"βίῃ δ' ἀποσπασθεῖσα μᾶλλον ἐτρώθης. 75
"καὶ νῦν ἐκεῖνος πλεῖον ἢ σὺ θυμοῦται,
"λίην ἄπιστον πειράσας σε καὶ κούφην,
"βασιλέα δέ φησι τὸν λύκον καταστήσειν.
"οἴμοι πονηροῦ δεσπότου! τί ποιήσω;
"ἅπασιν ἡμῖν αἰτίη κακῶν γίνῃ. 80
"ἀλλ' ἐλθὲ καὶ τὸ λοιπὸν ἴσθι γενναία,
"μηδ' ἐπτόησο πρόβατον οἷον ἐκ ποίμνης.
"ὄμνυμι γάρ σοι φύλλα πάντα καὶ κρήνας,
"οὕτω γένοιτό σοι μόνῃ με δουλεύειν,
"ὡς οὐδὲν ἐχθρὸν οἶδεν, ἀλλ' ὑπ' εὐνοίης 85
"τίθησι πάντων κυρίαν σε τῶν ζῴων."
τοιαῦτα κωτίλλουσα τὴν ἀχαιΐνην
ἔπεισεν ἐλθεῖν δὶς τὸν αὐτὸν εἰς αἴδην.
ἐπεὶ δὲ λόχμης εἰς μυχὸν κατεκλείσθη,
λέων μὲν αὐτὸς εἶχε δαῖτα πανθοίνην, 90

---

74. κνίσμα A. κνῆσμα Fab. Bodl.

76. πλέον A. Corr. Boiss.

81. γενναίη Boiss. et Bait.

83. Juramentum per brassicam ap. Ananium (fr. 3. p. 533. ed. Bergk.) comparavit Knochius. conf. Grimm. Deutsche Rechtsalterthümer, p. 896.

84. μόνη A. Ita quoque fabula pedestris. Sed correxit Furia, quem secutus est Boiss.

85. ὡς οὐδὲν ἐχθρὸν ὁ λέων A. ἐχθρὸς conj. Boiss. Metrum transpositis ἐχθρὸν et ὁ λέων sanari potest; sed præstat legere οἶδεν pro ὁ λέων cum Lachmanno.

86. κυρίην Bait.

87. κοτίλλουσα A.

87—8. E Babrio citat Suidas in κωτίλλω et ἀχαιίνη (ubi κωτίλλουσαν). Cf. Knoch. p. 143.

90. παντοίην et 92 λάπτων A.

90—3. Duos versus et dimidium citat Suidas in πανθοίνην, ubi πανθοίνην pro παντοίην, ἔγκατα

σάρκας λαφύσσων, μυελὸν ὀστέων πίνων,
καὶ σπλάγχνα δάπτων· ἡ δ' ἀγωγὸς εἱστήκει
πεινῶσα θήρης· καρδίην δὲ νεβρείην
λάπτει πεσοῦσαν, ἁρπάσασα λαθραίως·
καὶ τοῦτο κέρδος εἶχεν ὧν ἐκεκμήκει. 95
λέων δ' ἕκαστον ἐγκάτων ἀριθμήσας
μόνην ἀπ' ἄλλων καρδίην ἐπεζήτει,
καὶ πᾶσαν εὐνὴν, πάντα δ' οἶκον ἠρεύνα·
κερδὼ δ' ἀπαιολῶσα τῆς ἀληθείης,
"οὐκ εἶχε πάντως," φησί· "μὴ μάτην ζήτει. 100
"ποίην δ' ἔμελλε καρδίην ἔχειν, ἥτις
"ἐκ δευτέρου λέοντος ἦλθεν εἰς οἴκους;"

---

pro σάρκας, et δάπτων pro λάπτων. πανθοίνην pro πανδαισίαν male explicat Suidas. Est enim adjectivum. Vide Knoch. p. 144. Ultimi pars prima iterum a Suida in δάπτω adducitur.

91. Lectionem Suidæ, ἔγκατα pro σάρκας, vel poeta vel librarius ab Homero sumpsit; apud quem leo αἷμα καὶ ἔγκατα πάντα λαφύσσει Il. XI. 176. XVII. 64. et iterum duo leones ἔγκατα καὶ μέλαν αἷμα λαφύσσετον, Il. XVIII. 583. Λάπτω est idem quod Latinum *lambo* (Il. XVI. 161), et λαφύσσω ab eadem radice descendit; sed si leo σάρκας λαφύσσειν dici poterat, eodem jure vulpes καρδίην λάπτειν diceretur. Fortasse tamen melius, quamvis contra Suidæ auctoritatem, cum Fixio legeretur σπλάγχνα λάπτων et δάπτει πεσοῦσαν.

93—4. Ambo versus citat Suid. in νέβρος, ubi κερδὼ pro θήρης.

101. Intellectus sedem in corde, non in capite, Græci ponebant.

ib. ἥτις similem sedem in versu habet, f. 102. v. 11.

FAB. XCVI.

ΛΥΚΟΣ ΚΑΙ ΑΡΝΕΙΟΣ.

Λύκος παρῄει θριγκὸν, ἔνθεν ἐκκύψας
ἀρνειὸς αὐτὸν ἔλεγε πολλὰ βλασφήμως.
κἀκεῖνος εἶπε τὰς σιαγόνας πρίων·
"ὁ τόπος μ' ἐλοιδόρησε· μὴ σὺ καυχήσῃ."
[ὁ μῦθος ὀρθῶς πᾶσι τοῦτο μηνύει· 5
μηδεὶς διὰ καιρὸν ἰσχύων τι γαυρούσθω.]

Extant quattuor fabulæ pedestres, cum tetrasticho Ignatiano, ap. Cor. f. 139. p. 81. 337. In binis, vice arietis, ut in Babrio, fabulator capellam ἐπὶ δώματος inducit. Cf. Knoch. p. 94.

1—2. Citat Suidas in τριγχὸς, ubi τριγχὸν et ἐκκύψας. ἐγκύψας A. τριγχὸν præfert Fixius.

3. Citat Suid. in πρίων.

6. De ἰσχύω cum penultima correpta conf. not. ad f. 19. v. 6. Epimythium tamen suspicioni obnoxium est, ob ὀρθῶς v. 5. quod merum metri supplementum esse videtur, et anapæstum in secunda sede in v. 6. qui non multo melius procedit, si cum Boiss. legamus, διὰ καιρὸν ἰσχύων τι μηδεὶς γαυρούσθω. Uncinis includit Lachmannus, monente Dübnero.

FAB. XCVII.

ΛΕΩΝ ΚΑΙ ΤΑΥΡΟΣ.

Λέων ποτ' ἐπεβούλευεν ἀγρίῳ ταύρῳ,
καὶ προσποιηθεὶς μητρὶ τῶν θεῶν θύειν
τὸν ταῦρον ἐλθεῖν ἐπὶ τὸ δεῖπνον ἠρώτα.
κἀκεῖνος ἥξειν εἶπεν, οὐχ ὑποπτεύσας.
ἐλθὼν δὲ καὶ στὰς ἐπὶ θύρας λεοντείους, 5
ὡς εἶδε θερμοῦ πολλὰ χάλκια πλήρη,
σφαγίδας, μαχαίρας, βουδόρους νεοσμήκτους,
πρὸς τῇ θύρᾳ δὲ μηδὲν ἀλλὰ δεσμώτην
ἀλεκτορίσκον, ᾤχετ' εἰς ὄρος φεύγων.
ἐμέμφεθ' ὁ λέων ὕστερον συναντήσας. 10
ὁ δ', "ἦλθον," εἶπε, "καὶ τὸ σύμβολον δώσω·
"οὐκ ἦν ὅμοιον θῦμα τῷ μαγειρείῳ."

Extant quattuor hujus fabulæ recensiones pedestres, Cor. f. 227. p. 149. 377. Schneider. f. 141. p. 72.

2. τῇ θεῶν Lachmann.

3. Sine poetæ nomine citat Suidas in ἐρωτῶ σε, ubi ἐλθεῖν πρὸς αὐτὸν ἐπὶ τὸ δεῖπνον ἠρώτα. Conf. Knoch. p. 164.

6. χαλκεῖα A. Corr. Dübnerus.

8. θύρῃ Baiterus.

ib. ἀλλ' ἢ δεσμώτην A. ἀλλὰ δεσμώτην Schneidewin. Conf. Aristoph. Ach. 681. οὐδὲν ὄντας, ἀλλὰ κωφοὺς καὶ παρεξηυλημένους.

12. τὸ θῦμα τῷ μαγείρῳ A. θῦμα τῷ μαγειρείῳ Boiss. κατασκευὴ habet fab. ped.

FAB. XCVIII.

ΛΕΩΝ ΜΝΗΣΤΗΡ.

Λέων ἁλοὺς ἔρωτι παιδὸς ὡραίας
παρὰ πατρὸς ἐμνήστευε. τῷ δ' ὁ πρεσβύτης,
οὐδέν τι δύσνουν οὐδ' ὕπουλον ἐμφήνας,
“ δίδωμι γῆμαι,” φησὶ, “ καὶ διδοὺς χαίρω.
“ τίς οὐ δυνάστῃ καὶ λέοντι κηδεύσει ; 5
“ φρένες δὲ δειλαὶ παρθένων τε καὶ παίδων·
“ σὺ δ' ἡλίκους μὲν ὄνυχας, ἡλίκους δ' ἡμῖν
“ φέρεις ὀδόντας ; τίς κόρη σε τολμήσει
“ ἀφόβως περιβαλεῖν ; τίς δ' ἰδοῦσα μὴ κλαύσῃ ;
“ πρὸς ταῦτα δὴ σκόπησον, εἰ γάμου χρῄζεις, 10
“ μηδ' ἄγριος θὴρ, ἀλλὰ νυμφίος γίγνου.”
ὁ δὲ πτερωθεὶς τῇ δόσει τε πιστεύσας
ἐξεῖλε τοὺς ὀδόντας, εἶθ' ὑπὸ σμίλης
ἀπωνυχίσθη, τῷ τε πενθερῷ δείξας
τὴν παῖδ' ἀπῄτει. τὸν δ' ἕκαστος ἠλοία, 15

Extant quinque hujus fabulæ recensiones pedestres, (cum una Aphthonii f. 7.) sed nulla Babrianam proxime sequitur, Cor. f. 221. p. 143—6. 375. Schneider. f. 138. p. 71. Hac fabula usum fuisse Eumenem perhibet Diodorus XIX. 25. qui eam λόγον τῶν παραδεδομένων καὶ παλαιῶν vocat. Vide Thirlwall. Hist. Gr. tom. VII. p. 273.

1. ὡραίης Boiss.

9. περιλαβεῖν A. περιβαλεῖν Menas.

ib. κλαύσει Boiss.

15. Conf. f. 125. v. 16. ἅπαντα δ' εὐθὺς ἠλοίησε τὰ σκεύη.

ῥοπάλῳ τις ἢ λίθῳ τις ἐκ χερὸς παίων.
ἔκειτο δ' ἀργὸς, ὥσπερ ὗς ἀποθνήσκων,
γέροντος ἀνδρὸς ποικίλου τε τὴν γνώμην
σοφίῃ διδαχθεὶς, ὡς ἄνικτον ἀνθρώπους
ἐρᾶν λεόντων ἢ λέοντας ἀνθρώπων. 20
αὐτός τις αὑτὸν λανθάνει κακῶς δράσας,
ὧν οὐ πέφυκε μεταλαβεῖν ὅταν σπεύδῃ.

16. χειρὸς A. χερὸς Lachm.
19. ἄμικτον ἀνθρώποις A. ἄνικτον ἀνθρώπους reposuit Boiss. vox ἄνικτος non alibi invenitur, quamquam ἀνέφικτος in usu erat. Si ἀνθρώποις in hoc versu retinetur, legendum λέουσιν in proximo versu, ut monuit Boiss.
21—2. Uncinis inclusit Lachmann.

FAB. XCIX.

ΛΥΚΟΣ ΚΑΙ ΚΥΩΝ.

Λύκῳ συνήντα πιμελὴς κύων λίην.
ὁ δ' αὐτὸν ἐξήταζε, ποῦ τραφεὶς οὕτω
μέγας κύων ἐγένετο καὶ λίπους πλήρης.
"ἄνθρωπος," εἶπε, "δαψιλής με σιτεύει."
"ὁ δέ σοι τράχηλος," εἶπε, "πῶς ἐλευκώθη;" 5

Brevis recensio pedestris hujus fabulæ, ex cod. Flor. ap. Cor. f. 411. p. 268. Tetrastichon Ignatianum, a Bandinio evulgatum, vide ap. Knoch. p. 21. Fabulam habent Phædrus III. 7. Avianus n. 37.

1. πημελὴς et λίαν A. Corr. Boiss.
2. ποὐτραφὴς A. Corr. Menas.
5. πῶς εἶπεν A. Corr. Boiss.

"κλοιῷ τέτριπται σάρκα τῷ σιδηρείῳ,
"ὃν ὁ τροφεύς μοι περιτέθεικε χαλκεύσας."
λύκος δ' ἐπ' αὐτῷ καγχάσας, "ἐγὼ τοίνυν
"χαίρειν κελεύω," φησὶ, "τῇ τροφῇ ταύτῃ,
"δι' ἣν σίδηρος τὸν ἐμὸν αὐχένα τρίψει." 10

FAB. C.

ΛΕΩΝ ΚΑΙ ΑΕΤΟΣ.

Λέοντι προσπτὰς ἀετῶν τις ἐζήτει
κοινωνὸς εἶναι· χὠ λέων, "τί κωλύει;"
πρὸς αὐτὸν εἶπεν. "ἀλλ' ἐνέχυρον οὖν δώσεις
"ὠκύπτερόν σε μὴ μεθεῖναι τὴν πίστιν·
"πῶς γὰρ φίλῳ σοι μὴ μένοντι πιστεύσω;" 5

Fabula Babriana extat pæne integra, metris quidem solutis, in cod. Vat. fab. 358. Furia, ubi idem epimythium pedestre quod in cod. A. (Cor. p. 266.) Vide Mus. Phil. vol. I. p. 294. Knoch. p. 89.

1. αἰετῶν A. Conf. ad f. 33. v. 22.

3. ἐνέχυρον δώσεις A. cum cod. Vat. ἐνέχυρον οὖν δώσεις Buttmannus. ἐνέχυρόν μοι δώσεις Blomfield. ἐνέχυρά μοι δώσεις Berger. ἐνέχυρά γ' οὖν δώσεις Burges, ἐνέχυρον καὶ δώσεις Knoch. ἐνέχυρον πρὶν δώσεις Bois. ἐνέχυρον οὖν δώσεις (cum Buttmanno) aut ἐνδώσεις Fixius, ἀλλ' ἓν ἐνέχυρον δώσεις Baiterus. ἐνέχυρον ἦ δώσεις Hermannus. ἐνέχυρον οὐ δώσεις Dübnerus, ἐνέχυρον εἰ δώσεις Weisius.

4. τὰ ὠκύπτερά σου μὴ A. Correxi ex Vat.

ib. μὴ μεθῇς σὺ Hermannus.

FAB. CI.

ΛΥΚΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Λύκος τις ἁδρὸς ἐν λύκοις ἐγεννήθη,
λέοντα δ' αὐτὸν ἐπεκάλουν. ὁ δ' ἀγνώμων
τὴν δόξαν οὐκ ἤνεγκε, τῶν δὲ συμφύλων
ἀποστατήσας τοῖς λέουσιν ὡμίλει.
κερδὼ δ' ἐπισκώπτουσα, "μὴ φρενωθείην," 5
ἔφη, "τοσοῦτον, ὡς σὺ νῦν ἐτυφώθης.
"σὺ γὰρ ὡς ἀληθῶς ἐν λύκοις λέων φαίνῃ,
"ἐν δ' αὖ λεόντων συγκρίσει λύκος γίγνῃ."

Hæc etiam fabula extat pæne integra in eodem cod. Vaticano, f. 360. Furia, qui idem quoque servavit epimythium quod in A. extat (Cor. p. 267.) Conf. Mus. Phil. I. p. 294. Knoch. p. 92.

1. ἀδρὸς A. ἁδρὸς Vat.

5. φρενωθείη A. φρενωθείην Vat. φρενοῦν per διδάσκειν, νουθετεῖν, εἰς φρόνησιν ἄγειν explicant grammatici; (vide Blomfield. Gloss. ad Æsch. Prom. 343.) quem sensum apud poetas tragicos semper habet. In Babrii loco εἰς φρόνημα, non εἰς φρόνησιν, ἄγειν exprimere videtur. μὴ 'κφρενωθείην conjicit Coraes, probante Boiss. At licet ἔκφρων et ἐκφρονεῖν reperiantur, ἐκφρενοῦν ignotum est.

7—8. F. 54. v. 3—4. confert Boiss.

8. εἰς δ' αὖ λεόντων σύγκρισιν λύκος φαίνῃ Vat.

FAB. CII.

ΛΕΩΝ ΒΑΣΙΛΕΥΩΝ ΔΙΚΑΙΩΣ.

Λέων τις ἐβασίλευεν, οὐχὶ θυμώδης,
οὐδ' ὠμὸς οὐδὲ πάντα τῇ βίῃ χαίρων,
πρᾷος δὲ καὶ δίκαιος ὥς τις ἀνθρώπων.
ἐπὶ τῆς ἐκείνου, φασὶ δὴ, δυναστείας
τῶν ἀγρίων ἀγυρμὸς ἐγεγόνει ζῴων, 5
δίκας τε δοῦναι καὶ λαβεῖν παρ' ἀλλήλων.
τὰ ζῷα πάντα δ' ὡς ὑπέσχον εὐθύνας,
λύκος μὲν ἀρνὶ, πάρδαλις δέ γ' αἰγάγρῳ,
ἐλάφῳ δὲ τίγρις, πάντα δ' εἶχεν εἰρήνην,
ὁ πτὼξ λαγωὸς εἶπεν· "ἀλλ' ἐγὼ ταύτην 10
"τὴν ἡμέραν ἀεί ποτ' ηὐχόμην, ἥτις
"καὶ τοῖς βιαίοις φοβερὰ τἀσθενῆ θήσει."

Fabula pedestris a Babriana decurtata extat in cod. Bodl. ap. Tyrwhitt. Diss. p. 14. Conf. Cor. f. 363. p. 237. Knoch. p. 194. fr. 48.

3. πρὸς δ' ἄρα καὶ A. Correxit Dübnerus ex fab. Bodl. ubi ἀλλὰ πρᾷος καὶ δίκαιος ὥσπερ ἄνθρωπος.

4. δυναστείης Baiterus.

7. ὡς δ' ὕπεσχον A. χὠς ὕπεσχον Fixius. δ' ὡς ὕπεσχον Hermannus et Lachmannus.

8. δ' ἐπ' A. δέ γ' Sauppius et Lachmannus.

9. ἐλάφῳ τίγρις A. Inseruit δὲ Boiss. ex fab. Bodl.

ib. ἦγεν pro εἶχεν Meinekius, sed εἰρήνην ἔχειν habet Xen. Anab. II. 6. §. 6.

11. ἡμέρην Baiterus.

12. τὰ σθένη A. Corr. Boiss. ex fab. Bodl. ubi τὰ εὐτελῆ.

FAB. CIII.

ΛΕΩΝ ΝΟΣΩΝ ΚΑΙ ΘΗΡΙΑ.

Λέων ἐπ' ἄγρην οὐκέτι σθένων βαίνειν,
(πολλῷ γὰρ ἤδη τῷ χρόνῳ γεγηράκει,)
κοίλης ἔσω σπήλυγγος, ὡς νόσῳ κάμνων,
ἔκειτο, δόλιον οὐκ ἀληθὲς ἀσθμαίνων,
φωνὴν βαρεῖαν προσποιητὰ λεπτύνων. 5
θηρῶν δ' ἐπ' αὐλὰς ἦλθεν ἄγγελος φήμη,
καὶ πάντες ἤλγουν, ὡς λέοντος ἀρρώστου·
ἐπισκοπήσων δ' εἷς ἕκαστος εἰσῄει.
τούτους ἐφεξῆς λαμβάνων ἀμοχθήτως
κατήσθιεν, γῆρας δὲ λιπαρὸν ηὑρήκει. 10
σοφὴ δ' ἀλώπηξ ὑπενόησε, καὶ πόρρω
σταθεῖσα, " βασιλεῦ, πῶς ἔχεις ;" ἐπηρώτα.
κἀκεῖνος εἶπε· " χαῖρε, φιλτάτη ζῴων.
" τί δ' οὐ προσέρχῃ, μακρόθεν δέ με σκέπτῃ ;

Extant quinque fabulæ pedestres, ex Babriana decurtatæ, Cor. f. 137. p. 78—9. 336. Schneider. f. 140. p. 72. Fabula antiqua est ; a Platone Æsopea vocatur, Alcib. I. §. 39. Inter poetas Latinos Lucilius ante Horatium Ep. I. 1. 73. hoc apologo usus est. Habet quoque Dositheus n. 6. Conf. Knoch. p. 138. fr. 5.

3—4. Citat Suidas in *ἆσθμα* et *σπήλυγξ* ubi *οἷά τις νούσῳ Κάμνων ἐβέβλητ', οὐκ ἀληθὲς ἀσθμαίνων.* In v. *σπήλυγξ* initium versus prioris scribitur *κοιάσω* vel *κοιώσω*, quod in *κοίλης ἔσω* Toupius mutavit.

4. *δόλιον* A. *δολίως* Hauptius. *ἀληθῶς* A. *ἀληθὲς* Suidas.

6. *ἐπαύλας* A. *ἐπ' αὐλὰς* Düb.

ib. *ἀγγέλου* A. Corr. Boiss.

13. Conf. f. 12. v. 7.

" δεῦρο, γλυκεῖα, καί με ποικίλοις μύθοις 15
" παρηγόρησον ἐγγὺς ὄντα τῆς μοίρης."
" σώοιο!" φησὶν, " εἰ δ' ἄπειμι, συγγνώσῃ·
" πολλῶν γὰρ ἴχνη θηρίων με κωλύει,
" ὧν ἐξιόντων οὐκ ἔχεις ὅ μοι δείξεις."
μακάριος ὅστις οὐ προλαμβάνει πταίσας, 20
ἀλλ' αὐτὸς ἄλλων συμφοραῖς ἐπαιδεύθη.

17. ζώοιο A. σῴζοιο Dübner. σώοιο Lachmann. ζώοις συ Fix. ἦν δ' ἄπειμι A. Corr. Boiss.

20—1. Uncinis includit Lachmann. Conf. f. 111. v. 21.

FAB. CIV.

ΚΥΩΝ ΚΩΔΩΝΟΦΟΡΩΝ.

Λάθρα κύων ἔδακνε· τῷ δὲ χαλκεύσας
ὁ δεσπότης κώδωνα καὶ προσαρτήσας
πρόδηλον εἶναι μακρόθεν πεποιήκει.
ὁ κύων δὲ τὸν κώδωνα δι' ἀγορᾶς σείων
ἠλαζονεύετ'· ἀλλὰ δὴ κύων γραίη 5
πρὸς αὐτὸν εἶπεν· " ὦ τάλαν, τί σεμνύνῃ;
" οὐ κόσμον ἀρετῆς τοῦτον ἢ 'πιεικείης,
" σαυτοῦ δ' ἔλεγχον τῆς πονηρίας κρούεις."

Fabula pedestris, ap. Cor. f. 210. p. 136. Babrium proxime sequens, sed γραῦς pro κύων γραίη ponitur. Conf. Avian. fab. 7.

1. λάθρῃ Baiterus.

7. οὐδ' ἐπιεικίης A. ἢ 'πιεικείης Dübnerus aliique.

8. πονηρίης Baiterus.

FAB. CV.

ΛΥΚΟΣ ΚΑΙ ΛΕΩΝ.

Λύκος ποτ' ἄρας πρόβατον ἐκ μέσης ποίμνης
ἐκόμιζεν οἴκαδ'· ᾧ λέων συναντήσας
ἀπέσπασ' αὐτοῦ. καὶ λύκος, σταθεὶς πόρρω,
"ἀδίκως ἀφείλου τῶν ἐμῶν," ἐκεκράγει.
λέων δὲ τερφθεὶς εἶπε, τὸν λύκον σκώπτων· 5
"σοὶ γὰρ δικαίως ὑπὸ φίλων ἐδωρήθη;"

Ap. Cor. f. 234. p. 153. 379. extant tres fabulæ pedestres, quarum duæ plurima Babrii vestigia conservant.

4. ἀφεῖλω A. ἀφείλου fab. ped.

5. Confert Boiss. f. 106. v. 29. ὁ λέων δὲ τερφθείς.

FAB. CVI.

ΛΕΩΝ ΠΡΑΙΟΣ.

Λέων ποτ' ἀνδρῶν βίον ἄριστον ἐζήλου,
καὶ δὴ κατ' εὐρὺν φωλεὸν διατρίβων,
ὅσων ἀρίστην ὀριτρόφων φυὴν ἔγνω,
φιλοφρονεῖσθαι γνησίως ἐπειρᾶτο.

Hujus fabulæ nulla paraphrasis in Æsopeis extat.

4. Pro ἐπειρᾶτο fortasse ἐπειράθη legendum, ne versus in brevem vocalem, contra poetæ morem, desinat. Confer f. 57. v. 12. ὡς ἐπειράθην, et Theogn. v. 125. οὐ γὰρ ἂν εἰδείης ἀνδρὸς νόον οὐδὲ γυναικὸς, Πρὶν πειρηθείης, ὥσπερ ὑποζυγίου. Participio πειραθεὶς activo sensu utitur Thucydides, cum Apollon. Rhod. III. 405.

πολὺς δ' ὑπὸ σπήλυγγι θαμινὰ παντοίων 5
θηρῶν ὅμιλος ἡμέρως συνηυλίσθη·
ὁ δ' εἱστία τε κἀφίλει νόμῳ ξείνων,
ἅδην τιθεὶς ἅπασι δαῖτα θυμήρη.
φίλην δὲ κερδὼ καὶ σύνοικον εἰλήφει,
μεθ' ἧς τὰ πολλὰ μειλίχως συνεζήκει. 10
γέρων δέ τις πίθηκος ἦν ὁ δαιτρεύων,
κρεῶν τε συσσίτοισι διανέμων μοίρας·
ὃς, εἴ τις ἦλθεν οὐχὶ τῆς συνηθείης,
ταὐτὸν παρετίθει δεσπότῃ τε κἀκείνῳ,
ὅπερ εἶχεν ὁ λέων νεοδρόμῳ λαβὼν θήρῃ· 15
κερδὼ δ' ἑώλων ἔφερεν οὐκ ἴσην μοῖραν.
καὶ δή ποτ' αὐτὴν προσποιητὰ σιγῶσαν,
δείπνου τε χεῖρα καὶ βορῆς ἀποσχοῦσαν,
λέων τίν' εἶχεν αἰτίην διηρώτα.
"κερδοῖ σοφὴ, λάλησον ὥσπερ εἰώθεις· 20
"φαιδρῷ προσώπῳ δαιτὸς, ὦ φίλη, ψαῦσον."
ἡ δ' εἶπεν· "ὦ φέριστε θηρίων γέννης,
"πολλῇ μερίμνῃ καρδίην διαξαίνω·
"οὐ γὰρ τὰ νῦν παρόντα μοῦνον ἀλγύνει·

---

6. θηρίων A. θηρῶν Boiss. ζῴων Fixius.

8. ἀλίην ut videtur A. ἅδην Boiss. λίην Hermannus. Fortasse ἅδην legendum.

10. συνεζήτει A. συνεζήκει Fix.

12. δὲ A. τε Dübnerus et Fixius, aut διένεμεν Fixius.

13. ὀσεί τις A. Corr. Boiss.

16. μοίρην Boiss.

17. F. 103. v. 5. confert Boiss.

18—9. Hos versus inverso ordine habet A. Transponendos esse monuit Baiterus. Codicis ordinem retinet et ἀποσχοῦσα corrigit Hermannus.

"τὰ δ' ἔπειτα," φησὶ, "προσκοπουμένη κλαίω. 25
"καθ' ἡμέραν γὰρ εἴ τις ἄλλος, εἶτ' ἄλλος
"ξένος πελάζοι, τοῦτο δ' εἰς ἔθος βαίνοι,
"τάχ' οὐδ' ἑώλων γεύσομαι κρεῶν μούνη."
ὁ λέων δὲ τερφθεὶς ὡς λέων τε μειδήσας·
"εἶπον πιθήκῳ ταῦτα, μηδ' ἐμοὶ μέμφου." 30

26. ἡμέρην Baiterus.
27. βαῖνον A. βαίνοι Dübnerus aliique.
30. εἶπεν A. εἰπὸν Menas, εἶπον Boiss.
ib. φησὶ pro ταῦτα conjicit Fixius.

FAB. CVII.

ΛΕΩΝ ΚΑΙ ΜΥΣ.

Λέων ἀγρεύσας μῦν ἔμελλε δειπνήσειν·
ὁ δ' οἰκότριψ κλὼψ ἐγγὺς ὢν μόρου τλήμων
τοιοῖσδε μύθοις ἱκέτευε τὸν θῆρα·
"ἐλάφους πρέπει σοι καὶ κερασφόρους ταύρους
"θηρῶντα νηδὺν σαρκὶ τῇδε πιαίνειν· 5

